DIGITAL CHANT STAND
OF THE GREEK ORTHODOX ARCHDIOCESE OF AMERICA

# The Service of Matins

**for Sunday, January 22, 2023**

**Octoechos - Grave Mode**
**on Sunday Morning**
**Eothinon 10**

**Menaion - January 22**
**Memory of the Holy Apostle Timothy, and the Holy Devout Martyr Anastasios the Persian**
**Katavasias of the Meeting**

**Texts in Greek and English**

## Sources

[ GOASD ] Greek Orthodox Archdiocese of America. Fr. Seraphim Dedes. [ AC ] Anthony Cook. [ GKD ] George K. Duvall. [ KW ] Kallistos Ware. [ RB ] Richard Barrett. [ SD ] Fr. Seraphim Dedes.
[ TC ] Thomas Carroll. [ VPA ] Virgil Peter Andronache. [ GOA ] Greek Orthodox Archdiocese of America. [ HC ] Holy Cross Orthodox Press. [ OCA ] Orthodox Church in America.

NKJV Scripture taken from the New King James Version™. Copyright © 1982 by Thomas Nelson, Inc. Used by permission. All rights reserved.

RSV Revised Standard Version of the Bible, copyright © 1946, 1952, and 1971 National Council of the Churches of Christ in the United States of America. Used by permission. All rights reserved.

SAAS Scripture taken from the St. Athanasius Academy Septuagint™. Copyright © 2008 by St. Athanasius Academy of Orthodox Theology. Used by permission. All rights reserved.

## Disclaimer

The translation, rubrics, Greek and English texts are for the purposes of worship only and are subject to change without notice at the discretion of the Greek Orthodox Archdiocese of America.

All rights reserved. The materials contained within this booklet remain the property of all contributing translators. It is published solely for the purpose of providing a source of worship materials to the parishes of the Orthodox Church and may be copied and otherwise reproduced as needed by the parish toward this end; however, it may not be reprinted, reproduced, transmitted, stored in a retrieval system, or translated into any language in any form by any means—electronic, mechanical, recording, or otherwise—for the purpose of sale without the express written permission of the Greek Orthodox Archdiocese of America.

## GOA DCS Website

https://dcs.goarch.org

## Email

dcsinfo@goarch.org

## Fonts

Font copyright (c) 2010 Google Corporation with Reserved Font Arimo, Tinos and Cousine.

Copyright (c) 2012 Red Hat, Inc. with Reserved Font Name Liberation. This Font Software is licensed under the SIL Open Font License, Version 1.1.

This document was produced using the AGES Liturgical Workbench.

**Βιβλία - Πηγαί**

**Ὀκτώηχος - Ἦχος βαρύς.**

Τῇ Κυριακῇ Πρωΐ

**Μηναῖον - Τῌ ΚΒ΄ ΙΑΝΟΥΑΡΙΟΥ**

Μνήμη τοῦ Ἁγίου Ἀποστόλου Τιμοθέου, καὶ τοῦ Ἁγίου Ὁσιομάρτυρος Ἀναστασίου τοῦ Πέρσου

**Books - Sources**

**Octoechos - Grave Mode.**

On Sunday Morning

**Menaion - January 22**

Memory of the Holy Apostle Timothy, and the Holy Devout Martyr Anastasios the Persian

---

## ΟΡΘΡΟΣ

**ΧΟΡΟΣ**

**Ἦχος βαρύς.**

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**Στίχ. α΄.** *Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.*

**Στίχ. β΄.** *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

**Στίχ. γ΄.** *Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.*

Τῆς Ὀκτωήχου - - -

**Ἀπολυτίκιον Ἀναστάσιμον.**

**Ἦχος βαρύς.**

Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον, ἠνέῳξας τῷ Λῃστῇ τὸν Παράδεισον, τῶν Μυροφόρων τὸν θρῆνον μετέβαλες, καὶ τοῖς σοῖς Ἀποστόλοις κηρύττειν ἐπέταξας· ὅτι ἀνέστης Χριστὲ ὁ Θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

**Τοῦ Ἀποστόλου.**

Τοῦ Μηναίου - - -

**Ἦχος δ΄.**

Χρηστότητα ἐκδιδαχθείς, καὶ νήφων ἐν πᾶσιν, ἀγαθὴν συνείδησιν ἱεροπρεπῶς ἐνδυσάμενος, ἤντλησας ἐκ τοῦ Σκεύους τῆς

## MATINS

**CHOIR**

**Grave Mode.**

God is the Lord, and He revealed Himself to us. Blessed is he who comes in the name of the Lord. [SAAS]

**Verse 1:** *Give thanks to the Lord and call upon His holy name.*

**Verse 2:** *All the nations surrounded me, but in the name of the Lord I defended myself against them.*

**Verse 3:** *And this came about from the Lord, and it is wonderful in our eyes.*

From Octoechos - - -

**Resurrectional Apolytikion.**

**Grave Mode.**

By means of Your Cross, O Lord, You abolished death. To the robber You opened Paradise. The lamentation of the myrrh-bearing women You transformed, and You gave Your Apostles the order to proclaim to all that You had risen, O Christ our God, and granted the world Your great mercy. [SD]

**For the Apostle.**

From Menaion - - -

**Mode 4.**

Having learned kindness, and being always steady and sober, vested with a good conscience as befits a priest, you drew

ἐκλογῆς τὰ ἀπόῤῥητα· καὶ τὴν πίστιν τηρήσας, τὸν ἴσον δρόμον τετέλεκας, Ἀπόστολε Τιμόθεε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

out from the Chosen Vessel the secrets of God. And having kept the faith, you have finished the fair race, O Hieromartyr Timothy. Intercede with Christ our God, entreating Him to save our souls. [SD]

Δόξα. **Τοῦ Μάρτυρος.**

**Ἦχος δ´.** *Ταχὺ προκατάλαβε.*

Ὁ Μάρτυς σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν· ἔθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση, αὐτοῦ ταῖς ἱκεσίαις Χριστέ, σῶσον τὰς ψυχὰς ἡμῶν.

Glory. **For the Martyr.**

**Mode 4.** *Come quickly.*

Your Martyr, O Lord, was worthily awarded by You * the crown of incorruption, in that he contested for You our immortal God. * Since he possessed Your power, he defeated the tyrants, * dashing the demons' powerless displays of defiance. * O Christ God, at his fervent entreaties, save our souls. [SD]

Καὶ νῦν. **Θεοτοκίον.**

Τῆς Ὀκτωήχου - - -

**Ἦχος δ´.**

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται· Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Both now. **Theotokion.**

From Octoechos - - -

**Mode 4.**

O Theotokos, through you became manifest to us on earth the mystery, which was hid from eternity, and which the Angels themselves knew not: that God, uniting natures without confusion, becomes a man and accepts crucifixion for our salvation voluntarily. By virtue of this, resurrecting man whom He had first created, He saved our souls from death. [SD]

**ΙΕΡΕΥΣ**

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

*( Κύριε, ἐλέησον. )*

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ

**PRIEST**

Again and again, in peace, let us pray to the Lord.

*( Lord, have mercy. )*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*( Lord, have mercy. )*

Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us

πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*( Σοί, Κύριε. )*

Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*( Ἀμήν. )*

**ΧΟΡΟΣ**

**Κάθισμα Α΄.**

Τῆς Ὀκτωήχου - - -

**Ἦχος βαρύς.**

Ἡ Ζωὴ ἐν τῷ τάφῳ ἀνέκειτο, καὶ σφραγὶς ἐν τῷ λίθῳ ἐπέκειτο, ὡς Βασιλέα ὑπνοῦντα, στρατιῶται ἐφύλαττον Χριστόν, καὶ Ἄγγελοι ἐδόξαζον, ὡς Θεὸν ἀθάνατον. Γυναῖκες δὲ ἐκραύγαζον· Ἀνέστη ὁ Κύριος, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα.

Τῇ τριημέρῳ ταφῇ σου σκυλεύσας τὸν θάνατον, καὶ φθαρέντα τὸν ἄνθρωπον, τῇ ζωηφόρῳ Ἐγέρσει σου, ἀναστήσας Χριστὲ ὁ Θεός, ὡς φιλάνθρωπος δόξα σοι.

Καὶ νῦν. **Θεοτοκίον.**

Ὡς τῆς ἡμῶν Ἀναστάσεως θησαύρισμα, τοὺς ἐπὶ σοὶ πεποιθότας Πανύμνητε, ἐκ λάκκου καὶ βυθοῦ πταισμάτων ἀνάγαγε· σὺ γὰρ τοὺς ὑπευθύνους τῇ ἁμαρτίᾳ, ἔσωσας τεκοῦσα τὴν σωτηρίαν, ἡ πρὸ τόκου Παρθένος, καὶ ἐν τόκῳ Παρθένος, καὶ μετὰ τόκον πάλιν οὖσα Παρθένος.

commend ourselves and one another and our whole life to Christ our God.

*( To You, O Lord. )*

For Yours is the dominion, and Yours is the kingdom and the power and the glory, of the Father and of the Son and of the Holy Spirit, now and forever and to the ages of ages.

*( Amen. )*

**CHOIR**

**Kathisma I.**

From Octoechos - - -

**Grave Mode.**

Life was laid in the sepulcher, and a seal was laid on the stone. And as if guarding a king in his sleep, so the soldiers guarded Christ; and Angels glorified Him as the immortal God. The women cried aloud, "The Lord has risen, and granted the world great mercy." [SD]

Glory.

In Your three-day entombment You despoiled death. By Your life-bearing rising You have resurrected corrupted man, in Your love for humanity, O Christ God. Glory to You. [SD]

Both now. **Theotokion.**

O all-praised Lady, our resurrection's treasury, do from the pit and the deep of offences draw us up, as we have put our trust in you. For you have saved us who were liable for sin, by giving birth unto our salvation. Virgin prior to bearing; and in bearing, a Virgin; and after bearing, still a Virgin. [SD]

**Κάθισμα Β΄.**
**Ἦχος βαρύς.**

Ἐσφραγισμένου τοῦ μνήματος, ἡ Ζωὴ ἐκ τάφου ἀνέτειλας Χριστὲ ὁ Θεός, καὶ τῶν θυρῶν κεκλεισμένων, τοῖς Μαθηταῖς ἐπέστης, ἡ πάντων ἀνάστασις· Πνεῦμα εὐθὲς δι᾽ αὐτῶν ἐγκαινίζων ἡμῖν, κατὰ τὸ μέγα σου ἔλεος.

Δόξα.

Ἐπὶ τὸ μνῆμα ἔδραμον Γυναῖκες, μετὰ δακρύων μύρα φέρουσαι, καὶ στρατιωτῶν φυλασσόντων σε, τὸν τῶν ὅλων Βασιλέα, ἔλεγον πρὸς ἑαυτάς· Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον; ἀνέστη ὁ μεγάλης Βουλῆς Ἄγγελος, πατήσας τὸν θάνατον· Παντοδύναμε Κύριε, δόξα σοι.

Καὶ νῦν. **Θεοτοκίον.**

Χαῖρε κεχαριτωμένη Θεοτόκε Παρθένε, λιμὴν καὶ προστασία τοῦ γένους τῶν ἀνθρώπων· ἐκ σοῦ γὰρ ἐσαρκώθη ὁ Λυτρωτὴς τοῦ κόσμου· μόνη γὰρ ὑπάρχεις Μήτηρ καὶ Παρθένος, ἀεὶ εὐλογημένη καὶ δεδοξασμένη, πρέσβευε Χριστῷ τῷ Θεῷ, εἰρήνην δωρήσασθαι, πάσῃ τῇ οἰκουμένῃ.

**Εὐλογητάρια Ἀναστάσιμα.**
**Ἦχος πλ. α΄.**

*Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.*

Τῶν Ἀγγέλων ὁ δῆμος, κατεπλάγη ὁρῶν σε, ἐν νεκροῖς λογισθέντα, τοῦ θανάτου δὲ Σωτήρ, τὴν ἰσχὺν καθελόντα, καὶ σὺν ἑαυτῷ



**Kathisma II.**
**Grave Mode.**

O Life, You rose from the sepulcher, even though the tomb was secured with a seal, O Christ God. Then, although the doors were shut, You came to Your Disciples, O Resurrection of all. Through them You renew a right spirit in us, according to Your great mercy. [SD]

Glory.

In tears, the women bearing sweet spices went in haste to Your sepulcher. And they were saying to each other, "Who will roll away the stone for us?" For You, the King of all, were guarded by soldiers. The Angel of great Counsel has risen, after trampling on death. O Lord almighty, glory to You. [SD]

Both now. **Theotokion.**

Rejoice, Maiden full of grace, O Virgin Theotokos; a haven and protection are you for all of mankind. From you did the Redeemer of the world become incarnate, only you are both a Mother and a Virgin. O Lady ever blessed and ever filled with glory, intercede with Christ God, beseeching Him to grant peace to the universe. [SD]

**Resurrectional Evlogetaria.**
**Mode pl. 1.**

*Blessed are You, O Lord, teach me Your statutes.*

When the hosts of the Angels saw how You were accounted among the dead, they all marveled. You, O Savior, are the One who destroyed the might of death; and when You

τὸν Ἀδὰμ ἐγείραντα, καὶ ἐξ Ἅδου πάντας ἐλευθερώσαντα.

*Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.*

Τί τὰ μύρα, συμπαθῶς τοῖς δάκρυσιν, ὦ Μαθήτριαι κιρνᾶτε; ὁ ἀστράπτων ἐν τῷ τάφῳ Ἄγγελος, προσεφθέγγετο ταῖς Μυροφόροις· Ἴδετε ὑμεῖς τὸν τάφον καὶ ᾔσθητε· ὁ Σωτὴρ γὰρ ἐξανέστη τοῦ μνήματος.

*Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.*

Λίαν πρωΐ, Μυροφόροι ἔδραμον, πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι· ἀλλ' ἐπέστη, πρὸς αὐτὰς ὁ Ἄγγελος, καὶ εἶπε· θρήνου ὁ καιρὸς πέπαυται, μὴ κλαίετε, τὴν Ἀνάστασιν δέ, Ἀποστόλοις εἴπατε.

*Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.*

Μυροφόροι γυναῖκες, μετὰ μύρων ἐλθοῦσαι, πρὸς τὸ μνῆμά σου, Σῶτερ ἐνηχοῦντο. Ἀγγέλου τρανῶς, πρὸς αὐτὰς φθεγγομένου· Τί μετὰ νεκρῶν, τὸν ζῶντα λογίζεσθε; ὡς Θεὸς γάρ, ἐξανέστη τοῦ μνήματος.

Δόξα.

Προσκυνοῦμεν Πατέρα, καὶ τὸν τούτου Υἱόν τε, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν Ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφείμ, κράζοντες τό· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ, Κύριε.

arose You raised Adam with yourself and from Hades liberated everyone. [SD]

*Blessed are You, O Lord, teach me Your statutes.*

"Why do you mingle the ointments with your tears full of pity, O women disciples?" Thus the Angel who was shining in the tomb cried to the myrrh-bearing women. "See for yourselves the empty tomb and understand, that the Savior has risen from the sepulcher." [SD]

*Blessed are You, O Lord, teach me Your statutes.*

Very early in the morning, the myrrh-bearing women were hastening to Your tomb lamenting. But the Angel appeared to them and uttered, "The time for lamentation has ended; weep no more. Go announce the Resurrection to the Apostles." [SD]

*Blessed are You, O Lord, teach me Your statutes.*

When the myrrh-bearing women had come with their spices to Your sepulcher, O Savior, they heard the voice of an Angel clearly speaking to them, "Why do you account among the dead the One who lives? For as God, He has risen from the sepulcher." [SD]

Glory.

We bow down in worship to the Father and His Son and the Holy Spirit, the Holy Trinity, one in essence; and we cry aloud with the Seraphim: Holy, Holy, Holy are You, O Lord. [SD]

Καὶ νῦν.

Ζωοδότην τεκοῦσα, ἐλυτρώσω Παρθένε, τὸν Ἀδὰμ ἁμαρτίας, χαρμονὴν δὲ τῇ Εὔᾳ, ἀντὶ λύπης παρέσχες, ῥεύσαντα ζωῆς, ἴθυνε πρὸς ταύτην δέ, ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς καὶ ἄνθρωπος.

Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα. Δόξα σοι, ὁ Θεός. (ἐκ γ΄)

**ΙΕΡΕΥΣ**

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

*( Κύριε, ἐλέησον. )*

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*( Σοί, Κύριε. )*

Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα, καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*( Ἀμήν. )*

**ΑΝΑΓΝΩΣΤΗΣ**

Τῆς Ὀκτωήχου - - -

**Ὑπακοή. Ἦχος βαρύς.**

Ὁ ἡμετέραν μορφὴν ἀναλαβών, καὶ ὑπομείνας Σταυρὸν σωματικῶς, σῶσόν με τῇ Ἀναστάσει σου, Χριστὲ ὁ Θεός, ὡς φιλάνθρωπος.

Both now.

Giving birth to the Giver of life, O Virgin, you delivered Adam from sin, and to Eve you have rendered joy in place of sorrow. He who from you became incarnate, God and man, has directed to life him who fell from it. [SD]

Alleluia. Alleluia. Alleluia. Glory to You, O God. (3)

**PRIEST**

Again and again, in peace, let us pray to the Lord.

*( Lord, have mercy. )*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*( Lord, have mercy. )*

Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

*( To You, O Lord. )*

For blessed is Your name, and glorified is Your kingdom, of the Father and the Son and the Holy Spirit, now and forever and to the ages of ages.

*( Amen. )*

**READER**

From Octoechos - - -

**Hypakoe. Grave Mode.**

O Christ God, who took our form and bodily endured the Cross, save me by Your resurrection, as One who loves mankind. [SD]

**ΧΟΡΟΣ**

**Οἱ Ἀναβαθμοί.**

**Ἀντίφωνον Α΄. Ἦχος βαρύς.**

Τὴν αἰχμαλωσίαν Σιών, ἐκ πλάνης ἐπιστρέψας, κἀμὲ Σωτὴρ ζώωσον, ἐξαίρων δουλοπαθείας.

Ἐν τῷ νότῳ ὁ σπείρων θλίψεις, νηστείας μετὰ δακρύων, οὗτος χαρᾶς δρέψεται, δράγματα ἀειζωοτροφίας.

Δόξα· καὶ νῦν.

Ἁγίῳ Πνεύματι, πηγὴ τῶν θείων θησαυρισμάτων, ἐξ οὗ σοφία, σύνεσις, φόβος, αὐτῷ αἴνεσις, δόξα, τιμὴ καὶ κράτος.

**Ἀντίφωνον Β΄.**

Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον τὸν τῆς ψυχῆς, μάτην κοπιῶμεν· πλὴν γὰρ αὐτοῦ, οὐ πρᾶξις, οὐ λόγος τελεῖται.

Τοῦ καρποῦ τῆς γαστρός, οἱ Ἅγιοι πνευματοκινήτως, ἀναβλαστοῦσι πατρῷα δόγματα υἱοθεσίας.

Δόξα· καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τὰ σύμπαντα τὸ εἶναι ἔχει· πρὸ πάντων γὰρ Θεός, τῶν ὅλων κυριότης, φῶς ἀπρόσιτον, ζωὴ τῶν πάντων.

**Ἀντίφωνον Γ΄.**

Οἱ φοβούμενοι τὸν Κύριον, ὁδοὺς ζωῆς εὑρόντες, νῦν καὶ ἀεὶ μακαριοῦνται, δόξῃ ἀκηράτῳ.

Κύκλῳ τῆς τραπέζης σου, ὡς στελέχη βλέπων τὰ ἔκγονά σου, χαῖρε εὐφραίνου, προσάγων ταῦτα, τῷ Χριστῷ Ποιμενάρχα.

**CHOIR**

**Anavathmoi.**

**Antiphon I. Grave Mode.**

You restored from wandering the captivity of Zion. From slavery to passions seize me, and quicken me, O Savior. [SD]

In the south he who sows afflictions with tears and with fasting will reap the sheaves of joy, the staff of life everlasting. [SD]

Glory. Both now.

In the Holy Spirit is the source of divine treasures; from Him is fear, understanding and wisdom; to Him praise is due, glory, honor and dominion. [SD]

**Antiphon II.**

Unless the Lord build the house of the soul, in vain do we labor; for without Him no action or word is accomplished. [SD]

As of the fruit of the womb, the Saints being moved by the Spirit, because of their adoption, produce His fatherly dogmas. [SD]

Glory. Both now.

In the Holy Spirit does everything have its being; for He is God before all, and universal lordship, unapproachable light, and the life of all things. [SD]

**Antiphon III.**

They who fear the Lord and find the ways of life thereby both now and ever will be blessed with glory immortal. [SD]

As you see your offspring round about your table like saplings, rejoice and be glad as you offer them to Christ, O chief shepherd. [SD]

Δόξα· καὶ νῦν.

Ἁγίῳ Πνεύματι, βυθὸς χαρισμάτων, πλοῦτος δόξης, κριμάτων βάθος μέγα, ὁμόδοξον Πατρὶ καὶ Υἱῷ· λατρευτὸν γάρ.

Glory. Both now.

In the Holy Spirit is an abyss of divine gifts, a wealth of glory, a great depth of judgments; He is identical in glory to the Father and the Son, for He is worshiped. [SD]

**Προκείμενον.**

Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος. (δίς)

**Στίχ.** *Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου.*

Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.

**Prokeimenon.**

Arise, O Lord my God, let Your hand be lifted high, and do not forget Your poor to the end. (2)

**Verse:** *I will give thanks to You, O Lord, with my whole heart.*

Arise, O Lord my God, let Your hand be lifted high, and do not forget Your poor to the end. [SAAS]

**ΙΕΡΕΥΣ**

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

*( Κύριε, ἐλέησον. )*

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*( Σοί, Κύριε. )*

Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*( Ἀμήν. )*

**PRIEST**

Again and again, in peace, let us pray to the Lord.

*( Lord, have mercy. )*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*( Lord, have mercy. )*

Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

*( To You, O Lord. )*

For You are the King of peace and the savior of our souls, and to You we give glory, to the Father and the Son and the Holy Spirit, now and forever and to the ages of ages.

*( Amen. )*

**ΑΝΑΓΝΩΣΤΗΣ**

Τῆς Ὀκτωήχου - - -

**Κοντάκιον Ἀναστάσιμον.**

Οὐκέτι τὸ κράτος τοῦ θανάτου, ἰσχύσει κατέχειν τοὺς βροτούς· Χριστὸς γὰρ κατῆλθε συντρίβων, καὶ λύων τὰς δυνάμεις αὐτοῦ, δεσμεῖται ὁ ᾅδης, Προφῆται συμφώνως ἀγάλλονται. Ἐπέστη λέγοντες Σωτήρ, τοῖς ἐν πίστει, ἐξέρχεσθε οἱ πιστοὶ εἰς τὴν ἀνάστασιν.

**Ὁ Οἶκος.**

Ἔτρεμε κάτωθεν τὰ καταχθόνια σήμερον ὁ ᾅδης καὶ ὁ θάνατος τὸν ἕνα τῆς Τριάδος, ἡ γῆ ἐκλονεῖτο, πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν, ἡ κτίσις δὲ πᾶσα σύν τοῖς Προφήταις χαίρουσα ψάλλει σοι, ἐπινίκιον ᾠδὴν τῷ λυτρωτῇ ἡμῶν Θεῷ τῷ καταλύσαντι νῦν θανάτου τὴν δύναμιν. Ἀλαλάξωμεν καὶ βοήσωμεν τῷ Ἀδάμ, καὶ τοῖς ἐξ Ἀδάμ. Ξύλον τοῦτον εἰσήγαγεν· ἐξέρχεσθε οἱ πιστοὶ εἰς τὴν ἀνάστασιν.

*Ὁ λαὸς ἵσταται διὰ τὴν ἀνάγνωσιν τοῦ Συναξαρίου.*

**Συναξάριον**

Τοῦ Μηναίου.

Τῇ ΚΒ´ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου Ἀποστόλου Τιμοθέου, μαθητοῦ τοῦ Ἁγίου Ἀποστόλου Παύλου.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ἁγίου Ὁσιομάρτυρος Ἀναστασίου τοῦ Πέρσου.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν Ἁγίων Μαρτύρων Μανουήλ, Γεωργίου, Πέτρου, Λέοντος, Σιωνίου, Γαβριήλ, Ἰωάννου,

**READER**

From Octoechos - - -

**Resurrectional Kontakion.**

No longer will death's dominion have power to detain mortal men. For Christ went down and smashed and destroyed its powers. Now Hades is bound, and the Prophets in unison exult and declare: The Savior has appeared to those with faith. Come out, you faithful, to the Resurrection. [SD]

**Oikos.**

The netherworld below was trembling today -- Hades and Death before One of the Trinity. The earth was convulsing; and the wardens of hell, seeing You, cowered in fear, yet creation all, rejoicing with the Prophets, sings an ode of triumph to You, our Redeemer and God, who now has destroyed the power of Death. To Adam and to those who were born of him let us shout in triumph and cry aloud, "A Tree has brought this man back in. Come out, you faithful, to the Resurrection." [GKD]

*It is appropriate to stand for the reading of the Synaxarion.*

**Synaxarion**

From the Menaion.

On January 22 we commemorate the holy Apostle Timothy, disciple of the holy Apostle Paul.

On this day we also commemorate the holy devout martyr Anastasios of Persia.

On this day we also commemorate the holy martyrs Manual, George, Peter, Leo, Sionios, Gabriel, John, Leo, Parodos, and the other three hundred seventy-seven.

Λέοντος, Παρόδου, καὶ τῶν λοιπῶν τριακοσίων ἑβδομήκοντα ἑπτά.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεὸς ἐλέησον, καὶ σῶσον ἡμᾶς. Ἀμήν.

By the intercessions of Your Saints, O God, have mercy on us. Amen.

**ΧΟΡΟΣ**

**Καταβασίαι τῆς Ὑπαπαντῆς**

**ᾨδὴ α΄. Ἦχος γ΄.**

Χέρσον ἀβυσσοτόκον πέδον ἥλιος, ἐπεπόλευσε ποτέ· ὡσεὶ τεῖχος γὰρ ἐπάγη, ἑκατέρωθεν ὕδωρ, λαῷ πεζοποντοποροῦντι, καὶ θεαρέστως μέλποντι· Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται.

**CHOIR**

**Katavasias of the Meeting**

**Ode i. Mode 3.**

Sunlight once hovered over the abyssal plain that was rendered dry of old. * For the water like a wall on either side became solid, * and people walked across on dry land and sang an ode, pleasing to God, * "Sing to the Lord, who triumphed; for He is greatly glorified." [SD]

**ᾨδὴ γ΄.**

Τὸ στερέωμα, τῶν ἐπὶ σοὶ πεποιθότων, στερέωσον Κύριε τὴν Ἐκκλησίαν, ἣν ἐκτήσω τῷ τιμίῳ σου αἵματι.

**Ode iii.**

As the firm support of those who hope in You firmly, * O Lord and our Savior, support us, Your holy * Church You purchased * with Your most precious blood, O Christ. [SD]

**ᾨδὴ δ΄.**

Ἐκάλυψεν οὐρανούς, ἡ ἀρετή σου Χριστέ· τῆς κιβωτοῦ γὰρ προελθών, τοῦ ἁγιάσματός σου, τῆς ἀφθόρου Μητρός, ἐν τῷ ναῷ τῆς δόξης σοῦ, ὤφθης ὡς βρέφος ἀγκαλοφορούμενος· καὶ ἐπληρώθη τὰ πάντα, τῆς σῆς αἰνέσεως.

**Ode iv.**

The heavens were covered by Your virtue, O Christ. * For coming forth from the Ark of Your holiness, Your Mother who sustained no corruption, * You appeared today in Your glorious Temple, as an infant held in arms. * And the entire creation was filled with Your praise. [SD]

**ᾨδὴ ε΄.**

Ὡς εἶδεν Ἠσαΐας συμβολικῶς ἐν θρόνῳ ἐπηρμένῳ Θεόν, ὑπ' Ἀγγέλων δόξης δορυφορούμενον, ὢ τάλας! ἐβόα, ἐγώ· πρὸ γὰρ εἶδον σωματούμενον Θεόν, φωτὸς ἀνεσπέρου, καὶ εἰρήνης δεσπόζοντα.

**Ode v.**

Isaiah had a mystical vision of God * sitting on a throne lifted up, * and around Him stood the glorious Seraphim. * The Prophet cried out, "Woe is me! * With my eyes I have foreseen incarnate God; * and He is the Master of never-setting light and peace." [SD]

**Ὠδὴ ϛ΄.**

Ἐβόησέ σοι, ἰδὼν ὁ Πρέσβυς, τοῖς ὀφθαλμοῖς τὸ σωτήριον, ὃ λαοῖς ἐπέστη· Ἐκ Θεοῦ Χριστὲ σὺ Θεός μου.

**Ὠδὴ ζ΄.**

Σὲ τὸν ἐν πυρὶ δροσίσαντα, Παῖδας θεολογήσαντας, καὶ Παρθένῳ ἀκηράτῳ ἐνοικήσαντα, Θεὸν Λόγον ὑμνοῦμεν, εὐσεβῶς μελῳδοῦντες· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

**Ὠδὴ η΄.**

*Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.*

Ἀστέκτῳ πυρὶ ἑνωθέντες, οἱ θεοσεβείας προεστῶτες Νεανίαι, τῇ φλογὶ δὲ μὴ λωβηθέντες, θεῖον ὕμνον ἔμελπον· Εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

*Ὁ λαὸς ἵσταται διὰ τὴν ἀνάγνωσιν τοῦ Εὐαγγελίου.*

**ΔΙΑΚΟΝΟΣ**

Τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

**ΙΕΡΕΥΣ**

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**ΧΟΡΟΣ**

Ἀμήν.

**Ode vi.**

To You, the Elder cried out, on seeing * with his own eyes the salvation that You prepared for all people, * "God from God are You, Christ my Savior." [SD]

**Ode vii.**

Servants in the furnace spoke of God. * You bedewed them, O God the Logos; * and You dwelt in the womb of the immaculate, holy Virgin. We praise You * and sing to You devoutly: * Blessed are You, O Lord, the God of our fathers. [SD]

**Ode viii.**

*We praise and we bless and we worship the Lord.*

Unharmed were the young men, who were champions * of belief in God, when they were thrown into the furnace * and they faced unbearable fire; and they sang a hymn to God: * "All you works of the Lord, bless the Lord, * and exalt Him beyond measure unto all the ages." [SD]

*It is appropriate to stand for the Gospel reading.*

**DEACON**

Let us pray to the Lord.

*( Lord, have mercy. )*

**PRIEST**

For You are holy, our God, who rest among the Saints, and to You we give glory, to the Father and the Son and the Holy Spirit, now and forever and to the ages of ages.

**CHOIR**

Amen.

**Ἦχος β΄.**

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. (δίς) Αἰνεσάτω πνοή πᾶσα τὸν Κύριον.

**Mode 2.**

Let everything that breathes praise the Lord. (2) Let everything that breathes praise the Lord. [SAAS]

**ΔΙΑΚΟΝΟΣ**

Καὶ ὑπέρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

*( Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. )*

**DEACON**

Let us pray to the Lord our God that we may be made worthy to hear the holy Gospel.

*( Lord, have mercy. Lord, have mercy. Lord, have mercy. )*

**ΔΙΑΚΟΝΟΣ**

Σοφία. Ὀρθοί. Ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

**DEACON**

Wisdom. Arise. Let us hear the holy Gospel.

**ΙΕΡΕΥΣ**

Εἰρήνη πᾶσι.

*( Καὶ τῷ πνεύματί σου. )*

**PRIEST**

Peace be with all.

*( And with your spirit. )*

**ΙΕΡΕΥΣ**

Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Πρόσχωμεν.

*( Δόξα σοι, Κύριε, δόξα σοι. )*

**PRIEST**

The reading is from the holy Gospel according to John.

Let us be attentive.

*( Glory to You, O Lord, glory to You. )*

**ΙΕΡΕΥΣ** *(ἀπὸ τῆς ἁγίας τραπέζης)*

Ἑωθινὸν Ι΄
Ἰωάννην ΚΑ΄ 1-14

Τῷ καιρῷ ἐκείνῳ, ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν, ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος, ἐφανέρωσε δὲ οὕτως· Ἦσαν ὁμοῦ Σίμων Πέτρος, καὶ Θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ Ναθαναὴλ ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας, καὶ οἱ τοῦ Ζεβεδαίου, καὶ ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο. Λέγει αὐτοῖς Σίμων Πέτρος· Ὑπάγω ἁλιεύειν. Λέγουσιν αὐτῷ· Ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοί. Ἐξῆλθον καὶ ἀνέβησαν εἰς τὸ πλοῖον εὐθύς, καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ

**PRIEST** *(from the altar table)*

Eothinon 10
John. 21:1-14

At that time, Jesus revealed Himself again to the disciples by the Sea of Tiberias; and He revealed Himself in this way. Simon Peter, Thomas, called the Twin, Nathanael of Cana in Galilee, the sons of Zebedee, and two others of His disciples were together. Simon Peter said to them, "I am going fishing." They said to him, "We will go with you." They went out and got into the boat, but that night they caught nothing. Just as day was breaking, Jesus stood on the beach, yet the disciples did not

ἐπίασαν οὐδέν. Πρωΐας δὲ ἤδη γενομένης ἔστη ὁ Ἰησοῦς εἰς τὸν αἰγιαλόν· οὐ μέντοι ᾔδεισαν οἱ μαθηταὶ ὅτι Ἰησοῦς ἐστι. Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· Παιδία, μή τι προσφάγιον ἔχετε; ἀπεκρίθησαν αὐτῷ· Οὔ· ὁ δὲ εἶπεν αὐτοῖς· Βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε. Ἔβαλον οὖν, καὶ οὐκέτι αὐτὸ ἑλκύσαι ἴσχυσαν ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων. Λέγει οὖν ὁ μαθητὴς ἐκεῖνος ὃν ἠγάπα ὁ Ἰησοῦς τῷ Πέτρῳ· Ὁ Κύριός ἐστι. Σίμων οὖν Πέτρος, ἀκούσας ὅτι ὁ Κύριός ἐστι, τὸν ἐπενδύτην διεζώσατο - ἦν γὰρ γυμνὸς -, καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν, οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον - οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ' ὡς ἀπὸ πηχῶν διακοσίων -, σύροντες τὸ δίκτυον τῶν ἰχθύων. Ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν, βλέπουσιν ἀνθρακιὰν κειμένην καὶ ὀψάριον ἐπικείμενον, καὶ ἄρτον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων ὧν ἐπιάσατε νῦν. Ἀνέβη οὖν Σίμων Πέτρος, καὶ εἵλκυσε τὸ δίκτυον ἐπὶ τῆς γῆς, μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντηκοντατριῶν, καὶ τοσούτων ὄντων, οὐκ ἐσχίσθη τὸ δίκτυον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Δεῦτε ἀριστήσατε. Οὐδεὶς δὲ ἐτόλμα τῶν μαθητῶν ἐξετάσαι αὐτόν. Σὺ τίς εἶ; εἰδότες ὅτι ὁ Κύριός ἐστιν. Ἔρχεται οὖν ὁ Ἰησοῦς, καὶ λαμβάνει τὸν ἄρτον, καὶ δίδωσιν αὐτοῖς, καὶ τὸ ὀψάριον ὁμοίως. Τοῦτο ἤδη τρίτον ἐφανερώθη ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν.

*( Δόξα σοι, Κύριε, δόξα σοι. )*

know that it was Jesus. Jesus said to them, "Children, have you any fish?" They answered him, "No." He said to them, "Cast the net on the right side of the boat, and you will find some." So they cast it, and now they were not able to haul it in, for the quantity of fish. That disciple whom Jesus loved said to Peter, "It is the Lord!" When Simon Peter heard that it was the Lord, he put on his clothes, for he was stripped for work, and sprang into the sea. But the other disciples came in the boat, dragging the net full of fish, for they were not far from the land, but about a hundred yards off. When they got out on land, they saw a charcoal fire there with fish lying on it, and bread. Jesus said to them, "Bring some of the fish that you have just caught." So Simon Peter went aboard and hauled the net ashore, full of large fish, a hundred and fifty-three of them; and although there were so many, the net was not torn. Jesus said to them, "Come and have breakfast." Now none of the disciples dared ask Him, "Who are you?" They knew it was the Lord. Jesus came and took the bread and gave it to them, and so with the fish. This was now the third time that Jesus was revealed to the disciples after He was raised from the dead. [RSV]

*( Glory to You, O Lord, glory to You. )*

**ΑΝΑΓΝΩΣΤΗΣ**

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον Κύριον Ἰησοῦν, τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν καὶ τὴν ἁγίαν σου ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοί, προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ· Σταυρὸν γὰρ ὑπομείνας δι' ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

**READER**

Having beheld the Resurrection of Christ, let us worship the holy Lord Jesus, the only sinless one. Your Cross, O Christ, we venerate, and Your holy Resurrection we praise and glorify. For You are our God; apart from You we know no other; we call upon Your name. Come, all faithful, let us venerate the holy Resurrection of Christ; for behold, through the Cross, joy has come to the whole world. Ever blessing the Lord, let us praise His Resurrection; for having endured the Cross for us, He destroyed death by death. [GOA]

**ΧΟΡΟΣ**

**Ψαλμὸς Ν΄ (50).**

**Ἦχος β΄.** *(ἢ τῆς ἑβδομάδος.)*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

**CHOIR**

**Psalm 50 (51).**

**Mode 2.** *(or the Mode of the week)*

Have mercy on me, O God, according to Your great mercy; and according to the abundance of Your compassion, blot out my transgression.

Wash me thoroughly from my lawlessness and cleanse me from my sin.

For I know my lawlessness, and my sin is always before me.

Against You only have I sinned and done evil in Your sight; that You may be justified in Your words, and overcome when You are judged.

For behold, I was conceived in transgressions, and in sins my mother bore me.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Behold, You love truth; You showed me the unknown and secret things of Your wisdom.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

You shall sprinkle me with hyssop, and I will be cleansed; You shall wash me, and I will be made whiter than snow.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

You shall make me hear joy and gladness; my bones that were humbled shall greatly rejoice.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Turn Your face from my sins, and blot out all my transgressions.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Create in me a clean heart, O God, and renew a right spirit within me.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ’ ἐμοῦ.

Do not cast me away from Your presence, and do not take Your Holy Spirit from me.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Restore to me the joy of Your salvation, and uphold me with Your guiding Spirit.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

I will teach transgressors Your ways, and the ungodly shall turn back to You.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Deliver me from bloodguiltiness, O God, the God of my salvation, and my tongue shall greatly rejoice in Your righteousness.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

O Lord, You shall open my lips, and my mouth will declare Your praise.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

For if You desired sacrifice, I would give it; You will not be pleased with whole burnt offerings.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. Καὶ ἐλέησόν με, ὁ Θεός.

Δόξα.

Ταῖς τῶν Ἀποστόλων πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Στίχ.** *Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.*

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωήν, καὶ μέγα ἔλεος.

**ΙΕΡΕΥΣ**

Σῶσον ὁ Θεὸς τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας χριστιανῶν ὀρθοδόξων καὶ κατάπεμψον ἐφ’ ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων

A sacrifice to God is a broken spirit, a broken and humbled heart God will not despise.

Do good, O Lord, in Your good pleasure to Zion, and let the walls of Jerusalem be built.

Then You will be pleased with a sacrifice of righteousness, with offerings and whole burnt offerings.

Then shall they offer young bulls on Your altar. And have mercy on me, O God. [SAAS]

Glory.

At the intercession of the Apostles, O Lord of mercy, blot out my many offences. [SD]

Both now.

At the intercession of the Theotokos, O Lord of mercy, blot out my many offences. [SD]

**Verse:** *Have mercy on me, O God, according to Your great mercy; and according to the abundance of Your compassion, blot out my transgression.*

Jesus, having risen from the grave as He foretold, has granted us eternal life and great mercy. [SD]

**PRIEST**

O God, save Your people and bless Your inheritance. Look upon Your world with mercy and compassion. Raise the Orthodox Christians in glory, and send down upon us Your rich mercies, through the intercessions of our most pure Lady the Theotokos and ever-Virgin Mary, the power of the precious and life giving Cross, the protection of the honorable, bodiless Powers of heaven, the

Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν μεγάλων Ἱεραρχῶν καὶ οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου, Κυρίλλου καὶ Ἰωάννου τοῦ Ἐλεήμονος Πατριαρχῶν Ἀλεξανδρίας· Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος Τριμυθοῦντος καὶ Νεκταρίου Πενταπόλεως τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων Μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλήτου, Θεοδώρου τοῦ Τήρωνος, Θεοδώρου τοῦ Στρατηλάτου, Μηνᾶ τοῦ θαυματουργοῦ· τῶν Ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου, τῆς ἁγίας ἐνδόξου Μεγαλομάρτυρος καὶ πανευφήμου Εὐφημίας· τῶν ἁγίων ἐνδόξων Μαρτύρων Θέκλας, Βαρβάρας, Ἀναστασίας, Αἰκατερίνης, Κυριακῆς, Φωτεινῆς, Μαρίνης, Παρασκευῆς καὶ Εἰρήνης· τῶν ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν· (τοῦ Ἁγίου τοῦ Ναοῦ)· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ τοῦ Ἁγίου Ἀποστόλου Τιμοθέου, καὶ τοῦ Ἁγίου Ὁσιομάρτυρος Ἀναστασίου τοῦ Πέρσου, ὧν καὶ τὴν μνήμην ἐπιτελοῦμεν· καὶ πάντων σου τῶν Ἁγίων. Ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

supplications of the honorable and glorious prophet, and forerunner John the Baptist, the holy, glorious, and praiseworthy Apostles, our Fathers among the Saints, the great hierarchs and ecumenical teachers, Basil the Great, Gregory the Theologian and John Chrysostom, Athanasios, Cyril, and John the Merciful, patriarchs of Alexandria; Nicholas, bishop of Myra, Spyridon, bishop of Trimythous, Nektarios of Pentapolis, the wonder-workers; the holy, glorious great Martyrs George the Victorious, Demetrios the Myrobletes, Theodore the Teron, and Theodore the General, Menas the Wonderworker, the Hieromartyrs Haralambos and Eleftherios; the holy, glorious, and victorious martyrs; the glorious great Martyr and all-laudable Euphemia; the holy and glorious Martyrs Thecla, Barbara, Anastasia, Katherine, Kyriake, Fotene, Marina, Paraskeve and Irene; of our holy God-bearing Fathers; (local patron saint); the holy and righteous ancestors of God Joachim and Anna, the holy and glorious Apostle Timothy, and the holy devout martyr Anastasios the Persian, whose memory we observe; and of all your Saints. We beseech you, only merciful Lord, hear us sinners who pray to you and have mercy on us.

**ΧΟΡΟΣ**

Κύριε, ἐλέησον. (ιβʹ)

**CHOIR**

Lord, have mercy. (12)

**ΙΕΡΕΥΣ**

Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ’ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**PRIEST**

Through the mercy, compassion, and love of mankind of Your only-begotten Son, with whom You are blessed, together with Your all-holy, good and life-giving Spirit, now and forever and to the ages of ages.

*( Ἀμήν. )*

*Ὁ λαὸς ἵσταται διὰ τὴν Θ´ Ὠδήν.*

**ΔΙΑΚΟΝΟΣ**

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

**ΧΟΡΟΣ**

**Ὠδὴ θ´.**

**Μεγαλυνάριον. Ἦχος γ´.**

**Στίχ.** *Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

**Στίχ.** *Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γάρ, ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

**Στίχ.** *Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καί το ἔλεος αὐτοῦ εἰς γενεάν, καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

*( Amen. )*

*It is appropriate to stand for the singing of Ode ix.*

**DEACON**

Let us honor and magnify in song the Theotokos and the Mother of the light.

**CHOIR**

**Ode ix.**

**The Magnificat. Mode 3.**

**Verse:** *My soul magnifies the Lord, and my spirit has rejoiced in God my Savior.* [NKJV]

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify. [SD]

**Verse:** *For He has regarded the lowly state of His maidservant; for behold, henceforth all generations will call me blessed.* [NKJV]

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify. [SD]

**Verse:** *For He who is mighty has done great things for me, and holy is His name. And His mercy is on those who fear Him from generation to generation.* [NKJV]

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify. [SD]

**Στίχ.** *Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.*

**Verse:** *He has shown strength with His arm; He has scattered the proud in the imagination of their hearts.* [NKJV]

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify. [SD]

**Στίχ.** *Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.*

**Verse:** *He has put down the mighty from their thrones, and exalted the lowly. He has filled the hungry with good things, and the rich He has sent away empty.* [NKJV]

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify. [SD]

**Στίχ.** *Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς Πατέρας ἡμῶν, τῷ Ἀβραάμ, καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.*

**Verse:** *He has helped His servant Israel, in remembrance of His mercy, as He spoke to our fathers, to Abraham and to his seed forever.* [NKJV]

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify. [SD]

### Ὠδὴ θʹ. Καταβασία. Ἦχος γʹ.

### Ode ix. Katavasia. Mode 3.

*Θεοτόκε ἡ ἐλπίς, πάντων τῶν Χριστιανῶν, σκέπε φρούρει φύλαττε, τοὺς ἐλπίζοντας εἰς σέ.*

*Theotokos, as the hope of us Christians, one and all, * guard and shelter and protect those who put their hope in you.*

Ἐν νόμῳ σκιᾷ καὶ γράμματι, τύπον κατίδωμεν οἱ πιστοί· πᾶν ἄρσεν τὸ τὴν μήτραν διανοῖγον, ἅγιον Θεῷ· διὸ πρωτότοκον Λόγον,

In the shadow and the letter of the Law, * we the faithful perceive the decree: * Consecrate to God every male, the first-born opening the womb. * Now the unoriginate

Πατρὸς ἀνάρχου Υἱόν, πρωτοτοκούμενον Μητρί, ἀπειράνδρῳ μεγαλύνομεν.

**ΙΕΡΕΥΣ**

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

*( Κύριε, ἐλέησον. )*

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*( Σοί, Κύριε. )*

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰωνων.

*( Ἀμήν. )*

**ΧΟΡΟΣ**

**Ἦχος β΄.**

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. (δίς)

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.

Ὅτι ἅγιός ἐστι.

Τῆς Ὀκτωήχου - - -

**Ἐξαποστειλάριον.**

**Τὸ Ι΄ Ἑωθινόν.**

**Ἦχος β΄.** *Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Τιβεριάδος θάλασσα, σὺν παισὶ Ζεβεδαίου, Ναθαναὴλ τῷ Πέτρῳ τε, σὺν δυσὶν ἄλλοις πάλαι, καὶ Θωμᾶν εἶχε πρὸς ἄγραν, οἳ

Father's first-born Logos and Son * is also first-born of a virgin Mother, and we magnify Him. [SD]

**PRIEST**

Again and again, in peace, let us pray to the Lord.

*( Lord, have mercy. )*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*( Lord, have mercy. )*

Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

*( To You, O Lord. )*

For all the powers of heaven praise You, and to You we offer up glory, to the Father and the Son and the Holy Spirit, now and forever and to the ages of ages.

*( Amen. )*

**CHOIR**

**Mode 2.**

Holy is the Lord our God. (2) [SAAS]

Exalt the Lord our God, and worship at the footstool of His feet.

For He is holy.

From Octoechos - - -

**Exaposteilarion.**

**Eothinon 10.**

**Mode 2.** *On the mountain.*

At the Sea of Tiberias * did Peter with Nathaniel * also the sons of Zebedee * and two other disciples and Thomas of old go fishing.

Χριστοῦ τῇ προστάξει, ἐν δεξιοῖς χαλάσαντες, πλῆθος εἷλκον ἰχθύων, ὃν Πέτρος γνούς, πρὸς αὐτὸν ἐνήχετο, οἷς τὸ τρίτον φανεὶς καὶ ἄρτον ἔδειξε, καὶ ἰχθὺν ἐπ’ ἀνθράκων.

* At Christ's command they let down * on the right side the net and caught * a great number of fish. Recognizing Him, * Peter sprang to meet Him. This was the third time * that He appeared to them, and showed * bread and fish on the charcoals. [SD]

**Τῶν Ἁγίων.**

Τοῦ Μηναίου - - -

**Ἦχος β΄.** *Γυναῖκες ἀκουτίσθητε.*

Δυὰς φωτοειδέστατος, σήμερον ἀπαστράπτουσα, φαιδρότερον τοῦ ἡλίου, πᾶσαν τὴν κτίσιν φωτίζει, Τιμόθεος Ἀπόστολος, τῶν Ἀποστόλων σύνθρονος, καὶ θεῖος Ἀναστάσιος, τῶν Μοναστῶν ἡ τερπνότης, καὶ τῶν Μαρτύρων ἡ δόξα.

**For the Saints.**

From Menaion - - -

**Mode 2.** *O Women, hearken.*

Today that most illustrious * duo is shining brilliantly, * more radiant than the sunlight, * illumining all creation, * divine Apostle Timothy, * who sits on the Apostles' throne, * and holy Anastasios, * the great delight of monastics * and also the glory of Martyrs. [SD]

**Θεοτοκίον.**

**Ἦχος β΄.** *Γυναῖκες ἀκουτίσθητε.*

Πανάμωμε Μητρόθεε, τὸ μέγα περιήχημα, τῶν Ἀποστόλων Μαρτύρων, καὶ Προφητῶν καὶ Ὁσίων, τὸν σὸν Υἵόν καὶ Κύριον, ἱλέωσαι τοῖς δούλοις σου, ἡμῖν Θεογεννήτρια, ὅταν καθίσῃ τοῦ κρῖναι, τὰ κατ’ ἀξίαν ἑκάστῳ.

**Theotokion.**

**Mode 2.** *O Women, hearken.*

All-blameless Mother of our God, * the great and echoing report * of the Apostles and Martyrs, * of the Devout and the Prophets, * we pray you earnestly entreat * your Son and Lord on our behalf * when He will sit on Judgment Day * to judge us as each is worthy, * O all-holy Theotokos. [SD]

**Οἱ Αἶνοι. Ἦχος βαρύς.**

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

**Lauds. Grave Mode.**

Let everything that breathes praise the Lord. Praise the Lord from the heavens, praise Him in the highest. It is fitting to sing a hymn to You, O God. [SAAS]

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Praise Him, all you His angels; praise Him, all you His hosts. It is fitting to sing a hymn to You, O God. [SAAS]

Αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Praise Him, sun and moon; praise Him, all you stars and light.

Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν. Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου.

Praise Him, you heavens of heavens, and you waters above the heavens. Let them praise the Lord's name.

Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

For He spoke, and they were made; He commanded, and they were created.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

He established them forever and unto ages of ages; He set forth His ordinance, and it shall not pass away.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Praise the Lord from the earth, you dragons and all the deeps.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Fire and hail, snow and ice, stormy wind, which perform His word.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι.

Mountains and all the hills, fruitful trees and all cedars.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Wild animals and all cattle, creeping things and flying birds.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς.

Kings of the earth and all peoples, princes and all judges of the earth.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων· αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Young men and maidens, elders with younger, let them praise the Lord's name, for His name alone is exalted.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ. καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

His thanksgiving is in earth and heaven. And He shall exalt the horn of His people.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

A hymn for all His saints, for the children of Israel, a people who draw near to Him.

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.

Sing to the Lord a new song, His praise in the assembly of His holy ones.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ οἱ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Let Israel be glad in Him who made him, and let the children of Zion greatly rejoice in their King.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Let them praise His name with dance; with tambourine and harp let them sing to Him.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

For the Lord is pleased with His people, and He shall exalt the gentle with salvation.

Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

The holy ones shall boast in glory, and they shall greatly rejoice on their beds.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

The high praise of God shall be in their mouth and a two-edged sword in their hand.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

To deal retribution to the nations, reproving among the peoples.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Τῆς Ὀκτωήχου - - -

**Στιχηρὰ Ἀναστάσιμα.**

**Ἦχος βαρύς.**

*Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.*

Ἀνέστη Χριστὸς ἐκ νεκρῶν, λύσας θανάτου τὰ δεσμά, εὐαγγελίζου γῆ χαρὰν μεγάλην, αἰνεῖτε οὐρανοὶ Θεοῦ τὴν δόξαν.

**Ἦχος βαρύς.**

*Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.*

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον Κύριον, Ἰησοῦν τὸν μόνον ἀναμάρτητον.

**Ἦχος βαρύς.**

*Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.*

Χριστοῦ τὴν Ἀνάστασιν, προσκυνοῦντες οὐ παυόμεθα· αὐτὸς γὰρ ἡμᾶς ἔσωσεν, ἐκ τῶν ἀνομιῶν ἡμῶν, ἅγιος Κύριος Ἰησοῦς, ὁ δείξας τὴν Ἀνάστασιν.

**Ἦχος βαρύς.**

*Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.*

Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ, περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν, δι' ἡμᾶς Θεὸς ἐν ἀνθρώποις, διὰ τὴν καταφθαρεῖσαν φύσιν, ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν,

To shackle their kings with chains and their nobles with fetters of iron.

From Octoechos - - -

**Resurrectional Stichera.**

**Grave Mode.**

*To fulfill among them the written judgment: this glory have all His holy ones.* [SAAS]

Christ has risen from the dead, having loosed the bonds of death; O earth, proclaim the good tidings of great joy; O heavens, praise the glory of God. [SD]

**Grave Mode.**

*Praise God in His saints; praise Him in the firmament of His power.* [SAAS]

Having seen the Resurrection of Christ, let us worship the holy Lord Jesus, the only sinless One. [SD]

**Grave Mode.**

*Praise Him for His mighty acts; praise Him according to the abundance of His greatness.* [SAAS]

We do not cease to adore the Resurrection of Christ; for He it is who saved us from our iniquities. Holy is Lord Jesus who showed us the Resurrection. [SD]

**Grave Mode.**

*Praise Him with the sound of trumpet; praise Him with the harp and lyre.* [SAAS]

What shall we give to the Lord in return for all that He has rendered to us? For us did God come among men. For our corrupted nature did the Logos become flesh and

πρὸς τοὺς ἀχαρίστους ὁ Εὐεργέτης, πρὸς τοὺς αἰχμαλώτους ὁ Ἐλευθερωτής, πρὸς τοὺς ἐν σκότει καθημένους, ὁ Ἥλιος τῆς δικαιοσύνης ἐπὶ τὸν Σταυρόν ὁ ἀπαθής, ἐπὶ τὸν Ἄδην τὸ φῶς, ἐπὶ τὸν θάνατον ἡ ζωή, ἡ Ἀνάστασις διὰ τοὺς πεσόντας, πρὸς ὃν βοήσωμεν, ὁ Θεὸς ἡμῶν δόξα σοι.

dwell among us. The Benefactor came to the ungrateful; the Liberator to the captives; the Sun of Righteousness to those who sit in darkness. He who is dispassionate suffered on the cross; the Light shone in Hell. He who is Life has trampled on death. For the fallen He is the resurrection. Let us cry out to Him, Glory to You our God. [SD]

**Ἦχος βαρύς.**

*Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.*

Πύλας Ἄδου συνέτριψας Κύριε, καὶ θανάτου τὸ κράτος κατήργησας, τῇ κραταιᾷ δυνάμει σου, καὶ συνήγειρας νεκρούς, τοὺς ἀπ' αἰῶνος ἐν σκότει καθεύδοντας, τῇ θείᾳ καὶ ἐνδόξῳ Ἀναστάσει σου, ὡς Βασιλεὺς τοῦ παντός, καὶ Θεὸς παντοδύναμος.

**Grave Mode.**

*Praise Him with timbrel and dance; praise Him with strings and flute.* [SAAS]

O Lord, You have shattered the gates of Hell, and You have put an end to death's dominion, all by Your own mighty power. And You raised up with yourself the dead who lay in darkness from when time began, by Your divine and glorious resurrection, as the King over all and as God omnipotent. [SD]

**Ἦχος βαρύς.**

*Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.*

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, καὶ εὐφρανθῶμεν ἐν τῇ Ἀναστάσει αὐτοῦ ὅτι συνήγειρε νεκρούς, ἐκ τῶν τοῦ Ἄδου ἀλύτων δεσμῶν, καὶ ἐδωρήσατο τῷ κόσμῳ ὡς Θεός, ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος.

**Grave Mode.**

*Praise Him with resounding cymbals; praise Him with triumphant cymbals; let everything that breathes praise the Lord.* [SAAS]

Come, let us rejoice in the Lord and be exultant in His resurrection; for with himself He raised the dead from the bonds of Hades that no one could break; and as God, He has given to the world everlasting life and His great mercy. [SD]

**Ἦχος βαρύς.**

*Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.*

Ἐξαστράπτων Ἄγγελος, ἐν τῷ λίθῳ ἐκάθητο τοῦ Ζωοδόχου μνήματος, καὶ Γυναιξὶ

**Grave Mode.**

*Arise, O Lord my God, let Your hand be lifted high, and do not forget Your poor to the end.* [SAAS]

The dazzling Angel was sitting upon the stone of the life-receiving sepulcher, and to the

Μυροφόροις εὐηγγελίζετο λέγων· Ἀνέστη ὁ Κύριος, καθὼς προεῖπεν ὑμῖν, ἀπαγγείλατε τοῖς Μαθηταῖς αὐτοῦ, ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν, τῷ δὲ κόσμῳ παρέχει, ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος.

myrrh-bearing women he proclaimed the good tidings, "The Lord has risen, as He foretold to you. Go announce it to His disciples that He is going before you into Galilee; and that to the world He is granting life eternal and His great mercy." [SD]

**Ἦχος βαρύς.**

*Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.*

**Grave Mode.**

*I will give thanks to You, O Lord, with my whole heart; I will tell of all Your wondrous things.* [SAAS]

Τί ἀπεδοκιμάσατε τὸν λίθον τὸν ἀκρογωνιαῖον, ὦ παράνομοι Ἰουδαῖοι; Οὗτός ἐστιν ὁ λίθος, ὃν ἔθετο ὁ Θεὸς ἐν Σιών, ὁ ἐκ πέτρας πηγάσας ἐν ἐρήμῳ τὸ ὕδωρ, καὶ ἡμῖν ἀναβλύζων ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀθανασίαν, οὗτός ἐστιν ὁ λίθος, ὁ ἐξ ὄρους Παρθενικοῦ ἀποτμηθείς, ἄνευ θελήματος ἀνδρός, ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὁ ἐρχόμενος ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, πρὸς τὸν Παλαιὸν τῶν ἡμερῶν, καθὼς εἶπε Δανιήλ, καὶ αἰώνιος αὐτοῦ ἡ Βασιλεία.

Why did you reject the Cornerstone, O law-breaking Judeans? This is the stone that God placed in Zion, the One who made water spring from the rock in the desert, and who now for us from His side pours out immortality. This is the stone that was cut from the Virgin Mountain without a husband's will. He is the Son of man who is coming on the clouds of heaven to the Ancient of days, as Daniel has said, and His reign is everlasting. [SD]

Τῆς Ὀκτωήχου - - -

Δόξα. **Ἦχος πλ. β΄.**

**Τὸ Ι΄ Ἑωθινόν.**

Μετὰ τὴν εἰς Ἅδου κάθοδον, καὶ τὴν ἐκ νεκρῶν Ἀνάστασιν, ἀθυμοῦντες ὡς εἰκός, ἐπὶ τῷ χωρισμῷ σου Χριστὲ οἱ Μαθηταί, πρὸς ἐργασίαν ἐτράπησαν· καὶ πάλιν πλοῖα καὶ δίκτυα, καὶ ἄγρα οὐδαμοῦ. Ἀλλὰ σὺ Σῶτερ ἐμφανισθείς, ὡς δεσπότης πάντων, δεξιοῖς τὰ δίκτυα κελεύεις βαλεῖν· καὶ ἦν ὁ λόγος ἔργον εὐθύς, καὶ πλῆθος τῶν ἰχθύων πολύ, καὶ δεῖπνον ξένον ἕτοιμον ἐν γῇ· οὗ μετασχόντων τότε σου τῶν Μαθητῶν, καὶ ἡμᾶς νῦν νοητῶς καταξίωσον, ἐντρυφῆσαι φιλάνθρωπε Κύριε.

From Octoechos - - -

Glory. **Mode pl. 2.**

**Eothinon 10.**

After You descended into Hades and resurrected from the dead, Your Disciples, naturally disheartened by their separation from You, O Christ, resorted to working again. So they went back to the boats and the nets, and there was no catch at all. But then, O Savior, when You appeared as the Master of all, You commanded them to cast the nets on the right side of the boat. They put Your word into action at once; and so great was the shoal of fish. Then, an unusual meal was

ready for them ashore. That meal, which Your Disciples partook of then, grant us to enjoy now spiritually, O Lord who love humanity. [SD]

Καὶ νῦν. **Θεοτοκίον.**

Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ ᾅδης ᾐχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται, καὶ ἡμεις ἐζωοποιήθημεν· διὸ ἀνυμνοῦντες βοῶμεν· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας δόξα σοι.

Both now. **Theotokion.**

You are supremely blessed, O Virgin Theotokos. For through Him who from you became incarnate was Hades taken prisoner, and Adam has been summoned back; the curse has been neutralized, and Eve has been liberated; death has been put to death, and we have been brought to life. Therefore extolling we cry out: O Christ our God, You are blessed, for so was Your good pleasure. Glory to You! [SD]

*Ὁ λαὸς ἵσταται διὰ τὴν Μ. Δοξολογίαν.*

## Ἡ Μεγάλη Δοξολογία

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

*It is appropriate to stand for the Great Doxology.*

## Great Doxology

Glory be to You who showed the light. Glory in the highest to God. His peace is on earth, His good pleasure in mankind. [SD]

We praise You, we bless You, we worship You, we glorify You, we give thanks to You for Your great glory.

Lord King, heavenly God, Father, Ruler over all; Lord, only-begotten Son, Jesus Christ; and You, O Holy Spirit.

Lord God, Lamb of God, Son of the Father, who take away the sin of the world, have mercy on us, You who take away the sins of the world.

Accept our supplication, You who sit at the right hand of the Father, and have mercy on us.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

For You alone are holy, You alone are Lord, Jesus Christ, to the glory of God the Father. Amen.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Every day I will bless You, and Your name will I praise to eternity, and to the ages of ages.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Vouchsafe, O Lord, this day, that we be kept without sin.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Blessed are You, O Lord, the God of our fathers, and praised and glorified is Your name to the ages. Amen.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Let Your mercy be on us, O Lord, as we have set our hope on You.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Blessed are You, O Lord. Teach me Your statutes.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Blessed are You, O Lord. Teach me Your statutes.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Blessed are You, O Lord. Teach me Your statutes.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Lord, You have been our refuge from generation to generation. I said: Lord, have mercy on me. Heal my soul, for I have sinned against You.

Κύριε, πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Lord, I have fled to You. Teach me to do Your will, for You are my God.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

For with You is the fountain of life; in Your light we shall see light.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Continue Your mercy to those who know You.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γʹ)

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us. (3)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

*Μετὰ τὸ τέλος τῆς Δοξολογίας λέγομεν Τροπάριον Ἀναστάσιμον.*

**Ἦχος δ΄.** *(ἢ τῆς ἑβδομάδος.)*

Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν. Ἄσωμεν τῷ ἀναστάντι ἐκ τάφου καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον, τὸ νῖκος ἔδωκεν ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

*ἢ κατὰ τὴν παλαιωτέραν τάξιν·*

**Ἦχος πλ. δ΄.** *(ἢ τῆς ἑβδομάδος.)*

Ἀναστὰς ἐκ τοῦ μνήματος, καὶ τὰ δεσμὰ διαῤῥήξας τοῦ Ἅδου, ἔλυσας τὸ κατάκριμα, τοῦ θανάτου Κύριε, πάντας ἐκ τῶν παγίδων τοῦ ἐχθροῦ ῥυσάμενος, ἐμφανίσας σεαυτὸν τοῖς, Ἀποστόλοις σου, ἐξαπέστειλας αὐτοὺς ἐπὶ τὸ κήρυγμα, καὶ δι' αὐτῶν τὴν εἰρήνην παρέσχες τῇ οἰκουμένῃ, μόνε πολυέλεε.

Glory to the Father and the Son and the Holy Spirit.

Both now and ever and to the ages of ages. Amen.

Holy Immortal, have mercy on us.

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us.

*After the Doxology, sing the following Resurrectional Troparion.*

**Mode 4.** *(or the Mode of the week)*

Today has salvation come to pass in the world. Let us sing to Him who resurrected from the tomb and is the Author of our life. For, destroying death by death, He gave us the victory and the great mercy. [SD]

*Or, according to the older practice:*

**Mode pl. 4.** *(or the Mode of the week)*

When You rose from the sepulcher and broke the bonds of Hades, You repealed the sentence of death, O Lord, and delivered all from the snares of the enemy. And when You showed yourself to Your Apostles, You sent them out to preach, and through them You granted peace to the whole world, O only very merciful One. [SD]